νῦν καὶ ἀεὶ καὶ πάντοτε, καὶ ἕως τοῦ αἰῶνος.

Ἀμήν.

στ. 88

ΚΕΦΑΛΑΙΟΝ ΔΕΚΑΤΟΝ ΟΓΔΟΟΝ.

Ὕμνοι εἰς τὸν Ὑπερύμνητον Σταυρόν.

Α′. Ὁ θεὸς εὐχαριστῶ σοι ἐκ καρδίας καὶ ψυχῆς,
ὅτι ἐβοήθησάς μοι ἕως τέλους ἀπ' ἀρχῆς,
Καὶ τὰ κατὰ τὸν σεπτόν σου ἐπερίγραψα Σταυρόν,
ὁποῦ με τὸν εἶχες δόσει τόσον χρόνον καὶ καιρόν.
Τὸν Σταυρόν σου εἰς ἐμένα ἔδωκες τὸν μιαρόν,
καὶ ἐμένα στὸν Σταυρόν σου ἔδωκες τὸν ἱερόν.
Ἵν' αὐτὸς μὲν ἐμὲ σώσῃ, ὥσπερ δοῦλόν του κλητόν,
ἐγὼ δὲ αὐτὸν δοξάσω, ὡς Δεσπότην μου σεπτόν.
Τώρα δὲ βοήθησόν μοι πάλιν, σὲ παρακαλῶ,
ὅτι δίχως τὴν σὴν χάριν οὐδὲ γρῦ κἂν δὲν λαλῶ,
Διὰ νὰ τὸν ἐδοξάσω, ἡ τιμὴ ὅσῳ ζητεῖ
ἡ δική σου κὴ δική του, κὴ δική μου ἀπαιτεῖ.
Ἡ γὰρ δόξα τοῦ Σταυροῦ σου εἶναι δόξα σου, τιμή,
Δόξα σοι Χριστὲ σωτήρ μου, καὶ Σταυρέ, δόξα ἐμή.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα καὶ τιμὴ Χριστοῦ,
καὶ τιμή, δόξα καὶ κράτος καὶ λαοῦ σου τοῦ πιστοῦ.
Δόξα σοι Σταυρὲ Κυρίου, δι' οὗ ἔλαμψε χαρὰ
τοῦ Ἀδάμ τε καὶ τῆς Εὔας, καὶ ἐξέλιπεν ἀρά.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα τῶν Πατριαρχῶν,
καὶ ἐλπὶς γλυκεῖα μόνη ἐν τῷ Ἅδῃ τῶν ψυχῶν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα ἡ τῶν Προφητῶν,
καὶ τὸ πλήρωμα ἁπάσης προφητείας τῆς αὐτῶν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα ἡ τῶν Μαθητῶν,
καὶ τὸ κήρυγμα εἰς κόσμον ἅπαντα τὸν ὁρατόν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα τῶν Ἱεραρχῶν,
ἡ ὑπόθεσις ἁπάντων, καὶ τὸ τέλος τῶν εὐχῶν.

Δόξα σοι Σταυρὲ Κυρίου, δόξα ἡ τῶν Ἀθλητῶν,
καὶ κραταίωμα καὶ σθένος τὸ ὑπερφυὲς αὐτῶν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα ἡ τῶν Μοναστῶν,
καὶ ἡ μόνη προθυμία καὶ ἰσχὺς μετὰ Χριστόν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα ἱεραρχιῶν,
ἐπιγείων, οὐρανίων, καὶ χαρὰ μετὰ θεόν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα τῶν βασιλειῶν,
καὶ διάδημα καὶ πλοῦτος, ὅπλον τε τὸ κραταιόν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα τῶν Ἐκκλησιῶν,
τῶν ἀνὰ τὴν Οἰκουμένην πᾶσαν πάντων τῶν Ναῶν.
Δόξα σοι Σταυρὲ Κυρίου, δόξα τῶν Χριστιανῶν,
καὶ ἀγάπη, καὶ εἰρήνη, καὶ σημεῖον τὸ κοινόν.
Δόξα σοι Σταυρὲ Κυρίου, σωτηρία τελωνῶν,
καὶ παράδεισος λῃστῶν τε, καὶ συγχώρησις πορνῶν.
Δόξα σοι Σταυρὲ Κυρίου, ὀρφανῶν μὲν ὁ Πατήρ,
τῶν χηρῶν δὲ ὁ προστάτης, τῶν ἐν ζάλῃ ὁ σωτήρ.
Δόξα σοι Σταυρὲ Κυρίου, πλανωμένων ὁδηγός,
τῶν δὲ ξένων ἀντιλήπτωρ, τῶν τυφλῶν χειραγωγός.
Δόξα σοι Σταυρὲ Κυρίου, τῶν πενήτων θησαυρός,
τῶν πλουσίων εὐεργέτης, τῶν νοσούντων ἰατρός.
Δόξα σοι Σταυρὲ Κυρίου, τῶν κλαιόντων χαρμονή,
τῶν χαιρόντων εὐθυμία, τῶν καλῶν διαμονή.
Δόξα σοι Σταυρὲ Κυρίου, τῶν ἀφρόνων παιδευτής,
τῶν φρονίμων ὁδηγία, τῶν σοφῶν καθηγητής.
Δόξα σοι Σταυρὲ Κυρίου, τῶν πατέρων ὁ φρουρός,
τῶν μητέρων σωφροσύνη, τέκνων φύλαξ ὁ στεῤῥός.
Δόξα σοι Σταυρὲ Κυρίου, τῶν νεκρῶν ζωοποιός,
ποιητὴς τῶν θαυμασίων, μόνος τερατοποιός.

Β'. Ὢ καὶ τί πρᾶγμα καλὸν καὶ τερπνὸν τῇ ἀληθείᾳ,
τοῦ τιμίου μου Σταυροῦ εἶναι ἡ δοξολογία.
Ὅθεν Σῶτερ τὸν Σταυρὸν πάλιν νὰ ὑμνολογήσω,
φώτισόν με τὸν τυφλὸν τώρα νὰ τὸν χαιρετήσω.

24 Χαῖρε τίμιε Σταυρέ, ἡ χαρὰ τῆς Παναγίας,
ἡ ῥομφαία δὲ ἡ πρὶν τῆς ἁγνῆς αὐτῆς καρδίας.

25 Χαῖρε τίμιε Σταυρέ, ἡ χαρὰ τῶν Ἀρχαγγέλων,
Χερουβὶμ καὶ Σεραφὶμ καὶ τῶν ἄλλων τῶν Ἀγγέλων.

27 Χαῖρε τίμιε Σταυρέ, ἡ χαρὰ τοῦ Μωϋσέως,
καὶ ἡ δύναμις αὐτοῦ, καὶ ἡ ῥάβδος, καὶ τὸ κλέος.

28 Χαῖρε τίμιε Σταυρέ, ἡ τῆς ἐρυθρᾶς θαλάσσης
κλεὶς τὸ πάλαι κραταιά, τῆς τὸν Ἰσραὴλ σωσάσης.

29 Χαῖρε τίμιε Σταυρέ, ὁ γλυκάνας τὴν πικρίαν
τῶν ὑδάτων τῆς Μεῤῥᾶς κατ' ἐνέργειαν ἰδίαν.

30 Χαῖρε τίμιε Σταυρέ, ὁ δι' ὄφεως χαλκίνου
θεραπεύων τὸν λαὸν ἐκ τοῦ δήγματος ἐκείνου.

19 Χαῖρε τίμιε Σταυρέ, ἀποδεδοκιμασμένον
ξύλον εἰς οἰκοδομήν, εἶτα μεμακαρισμένον.

18 Χαῖρε τίμιε Σταυρέ, ξύλον προκεκηρυγμένον,
κλίμαξ ἔχουσα ἐν σοὶ τὸν Θεὸν ἐστηριγμένον.

20 Χαῖρε τίμιε Σταυρέ, ξύλον τὸ ἐκ κυπαρίσσου,
πεύκης, κέδρου, ὡς φησί, καὶ φυτὸν τοῦ Παραδείσου.

26 Χαῖρε τίμιε Σταυρέ, τοῦ Μεγάλου Κωνσταντίνου
ἡ μεγάλη ἡ χαρά, καὶ τὸ τρόπαιον ἐκείνου.

1 Χαῖρε τίμιε Σταυρέ, τοῦ μεγάλου βασιλέως
ὑποπόδιον σεπτόν, προσκυνούμενον εὐθέως.

2 Χαῖρε τίμιε Σταυρέ, τοῦ ὑψίστου βασιλέως
σκῆπτρον τὸ θεοφεγγές, καὶ ὁ θρόνος ὁ ὡραῖος.

3 Χαῖρε τίμιε Σταυρέ, τῆς δυνάμεως Κυρίου
κυριεύουσα ἐχθρῶν ῥάβδος, ἐκ Πατρὸς ἁγίου.

4 Χαῖρε τίμιε Σταυρέ, τῆς εὐθύτητος Χριστοῦ μου,
ῥάβδος ἡ δαβιτικὴ βασιλείας τοῦ θεοῦ μου.

5 Χαῖρε τίμιε Σταυρέ, Χριστοῦ ῥάβδος βασιλέως,
ἡ συντρίψασα ἐχθρούς, ὡσεὶ σκεύη κεραμέως.

6 Χαῖρε τίμιε Σταυρέ, τοῦ Χριστοῦ τὸ μεγαλεῖον,
ἐν ᾧ κάμπτει γόνυ πᾶν, οὐρανίων, ἐπιγείων.

7 Χαῖρε τίμιε Σταυρέ, τοῦ Χριστοῦ μου τὸ σημεῖον
ἐν τῇ ὥρᾳ τῇ φρικτῇ, τὸ φρικτὸν καὶ τῶν Ἁγίων.

8 Χαῖρε τίμιε Σταυρέ, τοῦ Χριστοῦ μου ἡ ἀγάπη,
δι' οὗ ἔχθρα ἡ ἡμῶν εἰς ἀγάπην μετετράπη.

21 Χαῖρε τίμιε Σταυρέ, τῆς Προνοίας τὸ ταμεῖον,
παντὸς κόσμου τῶν κακῶν ἱλαστήριον τὸ θεῖον.

22 Χαῖρε τίμιε Σταυρέ, οὐρανοὺς τῇ ἀρετῇ σου
ὁ καλύπτων καὶ τὴν γῆν πᾶσαν, καὶ τῇ χάριτί σου.

23 Χαῖρε τίμιε Σταυρέ, αἰνετὸν τὸ ὄνομά σου,
ὑπεράνω οὐρανῶν ἡ μεγαλοπρέπειά σου.

11 Χαῖρε τίμιε Σταυρέ, τράπεζα δεδοξασμένη,
ἐφ' ἧς τέθειται ἡ σὰρξ τοῦ Χριστοῦ τεθεωμένη.

12 Χαῖρε τίμιε Σταυρέ, τράπεζα ἡ παναγία,
ἐφ' ἧς γέγονε Χριστοῦ ἡ πανάμωμος θυσία.

15 Χαῖρε τίμιε Σταυρέ, ξύλον τὸ εὐλογημένον,
καὶ τῷ αἵματι Χριστοῦ τῷ ἀχράντῳ βεβαμμένον.

13 Χαῖρε τίμιε Σταυρέ, ξύλον τὸ εὐλογημένον,
τὸ βαστάσαν τὸν Χριστὸν καὶ θεὸν προσηλωμένον.

14 Χαῖρε τίμιε Σταυρέ, ξύλον τὸ εὐλογημένον,
τὸ βλαστῆσαν τὸν Χριστόν, ἄνθος κεχαριτωμένον.

16 Χαῖρε τίμιε Σταυρέ, Ξύλον τὸ εὐλογημένον
τοῦ Χειμάῤῥου τῆς μονῆς, καὶ διαβεβοημένον.
17 Χαῖρε τίμιε Σταυρέ, Ξύλον τὸ σωτηριῶδες
τῆς μονῆς τῆς ἱερᾶς τοῦ Χειμάῤῥου, καὶ εὐῶδες.
9 Χαῖρε τίμιε Σταυρέ, ὁ Χριστὸς δι' οὗ ὑψώθη,
καὶ ἐσώθη ὁ Ἀδάμ, καὶ Σατὰν ἐταπεινώθη.
10 Χαῖρε τίμιε Σταυρέ, δι' οὗ Ἅδης ἐκενώθη,
καὶ τὸ γένος τῶν βροτῶν ἐκ τοῦ Ἅδου ἐλυτρώθη.
31 Χαῖρε τίμιε Σταυρέ, τῶν ξοάνων καταλύτης,
τῶν θεῶν ὀλοθρευτής, τῶν δαιμόνων κεραυνίτης.
32 Χαῖρε τίμιε Σταυρέ, νεῖκος τὸ τῶν Ὀρθοδόξων,
συμμαχία τῶν πιστῶν, ἧττα δὲ τῶν κακοδόξων.
33 Χαῖρε τίμιε Σταυρέ, ἡ ἐλπὶς ἡ τῶν Ῥωμαίων,
τῶν Ἰβήρων ἡ ἰσχύς, καὶ Ξανθῶν τὸ ῥωμαλαῖον.
Χαῖρε τίμιε Σταυρέ, τὸ ὀχύρωμα Βλαχίας,
Μολδαβίας ἡ χαρά, φύλαξ πόλεως παντοίας.
35 Χαῖρε τίμιε Σταυρέ, μῆκος τὸ κραταίωμά μου,
πλάτος ἡ ἐμὴ ἐλπίς, βάθος τὸ ἁγίασμά μου.
36 Χαῖρε τίμιε Σταυρέ, Ξύλον μου τὸ ζωηφόρον,
δένδρον μου ζωοποιόν, καὶ φυτόν μου θεοφόρον.
37 Χαῖρε τίμιε Σταυρέ, τὸ χρυσοῦν ἐγκόλπιόν μου,
συνοδία ἡ ἐμή, κάλλος τὸ προσκυνητόν μου.
38 Χαῖρε τίμιε Σταυρέ, ἡ ἐμὴ παρηγορία
εἰς τὴν πρόσκαιρον ζωήν, καὶ τοῦ σώματος ὑγεία.
39 Χαῖρε τίμιε Σταυρέ, ἡ ἐμὴ παραμυθία
ὥρᾳ τῇ τῆς τελευτῆς, καὶ ψυχῆς μου προστασία.
40 Χαῖρε τίμιε Σταυρέ, ἡ ἐμὴ συνηγορία
ἐν τῇ κρίσει τῇ φρικτῇ, καὶ τοῦ κόσμου σωτηρία. στ. 84

ΤΟΥ ΑΥΤΟΥ ΚΑΝΩΝ ΤΡΙΑΔΙΚΟΣ ΔΑΒΙΤΙΚΟΣ.

Ἦχος πλ. δʹ. Ὠδὴ ά. Ὑγρὰν διοδεύσας.

Ἁγία Τριὰς ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.

Τριὰς ὑπερύμνητε παντουργέ, τῆς αἰνέσεώς σου πληρωθήτω τὸ στόμα μου, ὅπως ἀνυμνήσω σου τὴν δόξαν, νῦν καὶ ἀεὶ ὁ ἀνάξιος δοῦλός σου.

Δεῦτε προσκυνήσωμεν τῷ Θεῷ, τῷ τρισυποστάτῳ, καὶ προσπέσωμεν νῦν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου, Πατρὸς Υἱοῦ τε καὶ Ἁγίου Πνεύματος.

Κύριε εἰσάκουσον τῆς ἐμῆς, προσευχῆς οἰκτίρμον, τῆς οἰκτρᾶς μου καὶ ταπεινῆς, κλῖνον ὁ Θεός μου πρός με τὸ οὖς σου, ἐν ᾗ ἂν ὥρᾳ σὲ ἐπικαλέσωμαι.

Καθὼς ὁ πατὴρ οἰκτείρει υἱούς, καὶ ὁ Θεὸς οἰκτείρει, φοβουμένους ἀεὶ αὐτόν, τὸν Θεόν, ὃν πάντες φοβηθῶμεν, ὅπως ἡμᾶς οἰκτειρήσῃ ὡς εὔσπλαγχνος.

Ἐξελοῦ με Σῶτερ ἐκ τῶν ἐχθρῶν, ἐπανισταμένων, ἀοράτων καὶ ὁρατῶν, ἐπ' ἐμὲ καὶ λύτρωσαί με, ὁ ἐν Τριάδι Θεὸς ἀνυμνούμενος.

Θεοτοκίον.

Φωνῇ μου ἐκέκραξα πρὸς Θεόν, καὶ ἐπήκουσέ μου, ἐξ ἁγίου ὄρους αὐτοῦ, διὰ σοῦ θεόνυμφε Μαρία, σὺ γὰρ τὸ ὄρος Θεοῦ τὸ πανάγιον.

Ὠδὴ γʹ. Οὐρανίας ἁψῖδος.

Οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν τῇ τῶν πτερύγων σου ἐλπίζομεν σκέπῃ, καὶ καταφεύγομεν πάντοτε, ὑπεραγία Τριάς. Διὸ τρυφῆς τὸν χειμάῤῥουν τῆς σῆς ἡμᾶς ἅπαντας ποτιεῖς, Κύριε.

Φῶς ἀΐδιον πέλεις καὶ φωτουργὸς Κύριε, καὶ ἐν τῷ φωτί σου φῶς πάντες ἡμεῖς ὀψόμεθα, φωταγωγοῦν τὰς ψυχὰς καὶ ἱλαρῦνον καὶ τέρπον, Τριὰς φωτοπάροχε, Μονὰς Τρισήλιε.

Τοῦ ἐλέους σου Σῶτερ, καὶ οἰκτιρμῶν μνήσθητι, ὅτι ἐξ αἰῶνός εἰσι, Τριὰς πολυέλεε, μὴ οὖν μνησθῇς τῆς ἐμῆς, ἀγνοίας καὶ ἁμαρτίας, κατὰ δὲ τὸ ἔλεός σου σύ μου μνήσθητι.

Μή με ἐγκαταλίπῃς, μὴ ἀποστῇς Κύριε, ἀπ' ἐμοῦ ὁ πᾶσι παρὼν ὡς ἀπεριόριστος, ὅτι περ θλίψις ἐγγύς, ὁ βοηθῶν μοι οὐκ ἔστιν, ἀλλ' ἀεί μοι πάρεσο σώζων, ῥυόμενος.

Ἐπὶ πλεῖόν με πλῦνον, ἐκ τῆς ἀνομίας μου, καὶ τῆς ἁμαρτίας μου πάσης σύ με καθάρισον. Δαβιτικῶς σοι βοῶ, ὀδυνηρῶς σοι προσπίπτω, καὶ πιστῶς σου δέομαι, Θεὲ τρισάγιε.

Θεοτοκίον.

Ἀπενεχθήσονταί σοι Παμβασιλεῦ ὕψιστε, παρθένοι ὀπίσω τῆς θείας καὶ παναμώμου σου, ἀειπαρθένου Μητρός, ἧς ταῖς πρεσβείαις οἰκτίρμον, οἴκτειρον τὸν ἄσωτον υἱὸν καὶ σῶσόν με.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἐπακούσαις μου Κύριε, ἐν ἡμέρᾳ θλίψεως τοῦ οἰκέτου σου, ὅπως χαίρων τῆς θεότητος, ἀνυμνῶ τὴν δόξαν τὴν ὑπέρθεον.

Ἀποστείλαις μοι Δέσποτα, κραταιὰν βοήθειαν ἐξ ἁγίου σου, ὅπως πάντοτε σωζόμενος, προσκυνῶ τὸ κράτος σου τὸ ἄμετρον.

Δώῃς Ἅγιε δῴης μοι, κατὰ τὴν καρδίαν τὴν παναγίαν σου, καὶ μὴ κατὰ τὴν καρδίαν μου, σοὶ βοῶ ἐξ ὅλης τῆς καρδίας μου.

Ἄσω σοι τῷ Κυρίῳ μου, τῷ εὐεργετήσαντί με τὸν δοῦλόν σου, καὶ ψαλῶ σου τῷ ὀνόματι, τοῦ Πατρὸς Υἱοῦ τε καὶ τοῦ Πνεύματος.

Ὁ Θεός μου εὐλόγησον, ὁ Σωτὴρ τὸν στέφανον τοῦ ἐνιαυτοῦ, τῆς χρηστότητός σου Κύριε, Τριὰς πανοικτίρμον προαιώνιε.

Θεοτοκίον.

Ἄκουσόν μου ὦ Δέσποινα, καὶ ἴδε τὸν δοῦλόν σου καὶ τὰ ὦτά σου, κλῖνόν μοι καὶ τῶν πταισμάτων μου, ἐπιλάθου, δέομαι, καὶ σῶσόν με.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Σῶτερ συνέτισόν με, καὶ ἐξερευνήσω ὁ δοῦλος τὸν νόμον σου, καὶ αὐτὸν φυλάξω, κατὰ χρέος ἐν ὅλῃ καρδίᾳ μου, καὶ ὁδήγησόν με, ἐν τῇ ὁδῷ τῶν ἐντολῶν σου, παναγία Τριὰς ὁμοούσιε.

Κλῖνόν μου τὴν καρδίαν, εἰς τὰ σὰ μαρτύρια καὶ μὴ φιλάνθρωπε, εἰς πλεονεξίαν, ἐκ βαθέων καρδίας κραυγάζω σοι· πρόσχες ὁ Θεός μου ὁ ποιητής μου καὶ σωτήρ μου, παναγία Τριὰς ὑπερούσιε.

Ὁ Θεὸς σὺ φυλάξοις, ὁ Θεὸς σὺ σκέποις, ἡμέρας ὁ ἥλιος ἵνα μὴ συγκαύσῃ, οὐδὲ μὴν ἡ σελήνη τὴν νύκτα με, καὶ τὴν εἴσοδόν μου καὶ ἔξοδόν μου σὺ φυλάττοις, παναγία Μονὰς τρισυπόστατε.

Ὁ Πατὴρ φωτισμός μου, ὁ Υἱὸς σωτήρ μου, τίνα φοβηθήσομαι; ὑπερασπιστὴς δέ, τῆς ζωῆς μου τὸ Πνεῦμα τὸ Ἅγιον, μετὰ τοῦ Προφήτου, ζωαρχικὴ Τριὰς ἁγία, πεποιθώς σοι καὶ ψάλλω καὶ σώζομαι.

Ἰδοὺ δὴ εὐλογοῦμεν, ἅπαντες Πατέρα, Υἱὸν Πνεῦμα Κύριον, οἱ ἑστῶτες φόβῳ, ἐν τῷ οἴκῳ Κυρίου Θεοῦ ἡμῶν, καὶ τὰς ἀναξίας, αὐτῷ ἐπαίρομεν νῦν χεῖρας, εὐλογήσῃ ἡμᾶς ὅπως Κύριος.

Θεοτοκίον.

Ἐξελέξατο Κόρη, σὲ τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν, ἡρετίσατό σε, ἡ Τριὰς εἰς ἰδίαν κατοίκησιν, ἐνοικῆσαι δέ μοι, ὡς συμπαθής, σὲ ἱκετεύω, Ἀγαθὴ συνετίσαι καὶ σῶσαί με.

Ὠδὴ ϛ'. Τὴν δέησιν.

Εἰσάκουσον προσευχῆς μου Κύριε, καὶ ἐνώτισαι Σωτὴρ τὰς δεήσεις, ὡς ἀγαθός, καὶ εἰς κρίσιν μὴ ἔλθῃς, μετὰ τοῦ δούλου

σου τότε φιλάνθρωπε, δικαιοκρῖτα Ἰησοῦ, συνεδρεύων Πατρί τε καὶ Πνεύματι.

Οὐράνιε βασιλεῦ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου τὸ θεῖον, ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου, ἐν γῇ εὐθείᾳ διὸ ὁδηγήσεις με, τὸ Πνεῦμα σὺ τὸ ἀγαθόν, τῷ Πατρὶ καὶ Υἱῷ συνυμνούμενον.

Τὸ ἔλεος ἀκουστόν μοι ποίησον, τὸ πρωῒ τὸ σὸν ἐν σοὶ γὰρ ἐλπίζω. Ὁδὸν ἐν ᾗ, πορευθῶ γνώρισόν μοι, σὺ γὰρ ὁδὸς καὶ ζωὴ καὶ ἀλήθεια, ὑπάρχεις μόνος ὁ Θεός, ὁ τρισὶ χαρακτῆρσιν αἰνούμενος.

Θοῦ Κύριε φυλακὴν τῷ στόματι, θύραν δὲ περὶ τὰ χείλη μου Σῶτερ, περιοχῆς, μὴ ἐκκλίνῃς εἰς λόγους, τῆς πονηρίας ποτὲ τὴν καρδίαν μου, καρδιογνῶστα Ἀγαθέ, ὁ Θεός, ὁ Θεὸς τῆς καρδίας μου.

Ἐπίστρεψον εἰς τὴν σὴν ἀνάπαυσιν, ὦ ψυχὴ καὶ γὰρ εὐεργέτησέ με, ὡς ἀγαθός, ὅτι τοὺς ὀφθαλμούς μου, ἀπὸ δακρύων ἀπαύστων ἐξείλετο, ὁ μόνος τριλαμπὴς Θεός, τοὺς δὲ πόδας ἀπὸ ὀλισθήματος.

Θεοτοκίον.

Μνησθήσομαι νῦν τοῦ σοῦ ὀνόματος, Μαριὰμ καὶ εὐλογήσω Παρθένε, παντὶ καιρῷ καὶ ἐν ὅλῃ καρδίᾳ· μνήσθητι τοίνυν κἀμοῦ πρὸς τὸν εὔσπλαγχνον, τὸν Κύριόν σου καὶ υἱόν, ἐν ἡμέρᾳ τῆς κρίσεως δέομαι.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Οὐρανὸν ὁ ἐκτείνων, ὁ στεγάζων αὐτὸν ἐν ὕδασιν, ὁ νέφη ἐπιβαίνων, τὴν γῆν θεμελιῶν δέ, καὶ ποτὲ οὐ κλιθήσεται, ὁ ἐν Τριάδι Θεὸς ἀεὶ εὐλογητὸς εἶ.

Ὁ ποιῶν τοὺς Ἀγγέλους λόγῳ Πνεύματα μόνῳ, τοὺς λειτουργοὺς δὲ αὐτοῦ, καθάπερ πυρὸς φλόγα, ἱμάτιον δὲ ὥσπερ τὸ φῶς ἀναβαλλόμενος, ὁ ἐν Τριάδι Θεὸς ἀεὶ εὐλογητὸς εἶ.

Ἤτω εἰς τοὺς αἰῶνας, τοῦ Κυρίου ἡ δόξα ἡ ὑπερένδοξος, εἴη δεδοξασμένος, τὴν γῆν ὁ ἐπιβλέπων, καὶ ποιῶν αὐτὴν ἅπασαν, τρέμειν, καὶ ψάλλειν ἡμᾶς, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἅπαντά σοι τὰ ἔργα, Τριὰς παντουργὲ ἐξομολογησάσθωσαν, καί γε οἱ Ὅσιοί σου εὐλογησάτωσάν σοι, δόξαν τῆς βασιλείας σου, καὶ δυναστείαν τὴν σὴν ἐροῦσιν εἰς αἰῶνας.

Ἄσατε τῷ Κυρίῳ, ψάλατε αὐτῷ πάντες καὶ διηγήσασθε, θαυμάσια τὰ θεῖα, καὶ πάθῳ ἐπαινεῖσθε ἐν τῷ θείῳ ὀνόματι, Πατρός τε καὶ τοῦ Υἱοῦ καὶ Πνεύματος Ἁγίου. Θεοτοκίον.

Τοῦ Θεοῦ τὴν πόλιν, τὰ ὁρμήματα Κόρη ἀεὶ εὐφραίνουσι, τοῦ ποταμοῦ Παρθένε, τοῦ Πνεύματος τὰ θεῖα ὑπὲρ φύσιν χαρίσματα, ὧν ὑπερμεθέξαι κἀμὲ ἀξίωσον σὸν δοῦλον.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ὁ Κύριός μου καὶ ὁ Θεὸς ἕως πότε, ἐπιλήσῃ τοῦ σοῦ δούλου εἰς τέλος; ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ ἕως πότε, ἀποστρέφεις τρισυπόστατε Δόξα; ἣν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ βροτοκτόνος ἐχθρὸς ἐμὸς ἕως πότε, ἐπ' ἐμὲ ὑψωθήσεται Σῶτερ; σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Εἰσάκουσόν μου, τοὺς ὀφθαλμοὺς φώτισόν μου, μήποτε εἰς θάνατον ὑπνώσω, ἵνα σε δοξάζω Τριὰς εἰς τοὺς αἰῶνας.

Μήποτε εἴπῃ καὶ καυχηθῇ ὁ ἐχθρός μου, πρὸς αὐτὸν κατίσχυσα εἰς τέλος, ὅτι σὲ δοξάζω Τριὰς εἰς τοὺς αἰῶνας. Θεοτ.

Πᾶσα ἡ δόξα τῆς θυγατρὸς βασιλέως, ἔσωθεν ἐστὶν ὦ Θεοῦ Μῆτερ, ὡς ἐν μήτρᾳ σχοῦσα τὸν Κύριον τῆς δόξης.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Μακάριοι Θεέ μου, οἱ φοβούμενοί σε, τὸν φοβερὸν καὶ τρισάγιον Κύριον· τοὺς εὐσεβεῖς οὖν φοβεῖσθαί σε καταξίωσον.

Μακάριοι Θεέ μου, οἱ ἐν τῷ σῷ οἴκῳ, Παμβασιλεῦ κατοικοῦντες τρισήλιε. Χριστιανοὺς οὖν οἰκῆσαι πάντας εὐδόκησον.

Μακάριοι Θεέ μου, ὧν ἀφέθησάν τε, αἱ ἀνομίαι καὶ ἐπεκαλύφθησαν· κἀμοῦ οὖν ἄφες Σωτήρ μου καὶ ἐπικάλυψον.

Μακάριος Θεέ μου, ὃν ἂν σὺ παιδεύσῃς, καὶ ἐκ τοῦ θείου σου νόμου διδάξῃς αὐτόν. Παίδευσον οὖν με καὶ δίδαξον ἐκ τοῦ νόμου σου.

Μακάριος Θεέ μου, οὗ βοηθὸς εἶ σύ, καὶ ἡ ἐλπὶς αὐτοῦ ἐπὶ σὲ Κύριε· βοήθησόν μοι καὶ σῶσον, ἐν σοὶ γὰρ ἤλπισα.

Μακάριοι Θεέ μου, Πάτερ, Λόγε, Πνεῦμα, οὓς ἐξελέξω καὶ προσελάβου Σωτήρ, ἐν ταῖς αὐλαῖς σου ταῖς θείαις κατασκηνώσουσι.

Θεοτοκίον.

Μακάριος Παρθένε, ἀνήρ, ᾧ ὑπάρχει, ἀεὶ αὐτῷ παρὰ σοὶ ἡ ἀντίληψις. Ἀντιλαβοῦ μου δὲ ἵν' ἀεὶ μεγαλύνω σε.

ΜΕΓΑΛΥΝΑΡΙΑ.

Πατέρα τὸν ἄναρχον καὶ Θεόν, τῶν ὅλων καὶ κτίστην, τὸν αἰώνιον θησαυρόν, τοῦ Υἱοῦ καὶ Λόγου καὶ Πνεύματος Ἁγίου, τοῦ κόσμου τὸν σωτῆρα σὲ μεγαλύνομεν.

Τὸν μονογενῆ Υἱὸν τοῦ Πατρός, τὸν Θεὸν τῶν ὅλων, τὸν συνάναρχον τῷ Πατρί, τὸν ἐκ τῆς Παρθένου Μαρίας σαρκωθέντα, τοῦ κόσμου τὸν σωτῆρα σὲ μεγαλύνομεν.

Τὸ Πνεῦμα τὸ Ἅγιον καὶ σεπτόν, τὸν Θεὸν τῶν ὅλων, τὸν συνάναρχον τῷ Πατρί, τὸ συνανατέλλον φῶς τῷ Υἱῷ καὶ Λόγῳ, τοῦ κόσμου τὸν σωτῆρα σὲ μεγαλύνομεν.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς σεπτή, Μονὰς τρισαγία, μία φύσις, μία ἀρχή, καὶ μία θεότης, σὲ πάντες προσκυνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας καὶ μεγαλύνομεν.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΝΩΝ ΕΥΑΓΓΕΛΙΚΟΣ

ἤτοι περιέχων ἐν ἐπιτομῇ τὰ κατὰ τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον.

Ἦχος α'. Ὠδὴ α'. Χριστὸς γεννᾶται.

Χριστὸς γεννᾶται δοξάσωμεν, Χριστὸς ἐκ τῆς Παρθένου ὑμνήσωμεν, Χριστὸς δι' ἡμᾶς χορεύσωμεν, γενεαλογηθείς τε ἀπὸ Δαβίδ, καὶ τοῦ Πατριάρχου, Ἀβραὰμ τοῦ εὐγενοῦς, ὅτι δεδόξασται.

Ἄγγελοι πάντες ἀνύμνησαν, καὶ Δόξα ἐν ὑψίστοις ἐβόησαν, Θεῷ τῷ τεχθέντι σήμερον, καὶ ἐπὶ γῆς εἰρήνη διηνεκής, καὶ ἐν τοῖς ἀνθρώποις, εὐδοκία καὶ χαρά, ὅτι δεδόξασται.

Ὁ Ἰωσὴφ ἀνυμνείσθω μοι, πατὴρ ὡς τοῦ Χριστοῦ νομιζόμενος, καὶ Ἄννα γραῦς ἡ φιλόχριστος, καὶ τῶν ἀναιρεθέντων διὰ Χριστόν, πληθὺς τῶν νηπίων, τῶν ἐν κόλποις Ἀβραάμ, ὅτι δεδόξασται.

Περιτομὴν καταδέχεται, Χριστὸς καὶ τὴν φυγὴν τὴν εἰς Αἴγυπτον, ἵν' ὄντως πληροφορήσῃ με, τὴν προσληφθεῖσαν φύσιν τὴν ἐξ Ἀδάμ, καὶ ὅτι ὁ Λόγος σὰρξ ἐγένετο σαφῶς, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων.

Τὸν πρὸ τῶν αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀῤῥήτως υἱόν, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντα ἀχράντως, Χριστὸν τὸν Θεὸν ἐβάπτισεν, ὁ μείζων ἐν γεννητοῖς γυναικῶν, Ἰορδάνη σκίρτησον.

Πρῶτος Ἰωάννης οὐρανῶν βασιλείαν ἐκήρυξεν, καὶ τὴν μετάνοιαν ἐν πᾶσι, διὰ λόγου Κυρίου, καὶ πρῶτος αὐτὸς τὸ βάπτισμα, νομοθετεῖ ἐν τῷ κόσμῳ παντί, Ἅγιος εἶ Κύριε.

Πρῶτος Ἰωάννης τὸν Χριστὸν παῤῥησίᾳ ἐκήρυξε, Θεοῦ Ἀμνὸν τὴν ἁμαρτίαν, παντὸς αἴροντα κόσμου, καὶ Πνεῦμα ὁρᾷ τὸ Ἅγιον, καὶ τῆς πατρῴας ἀκούει φωνῆς, Ἅγιος εἶ Κύριε.

Ἐπὶ τὰς ἐρήμους, ὁ Χριστὸς παρευθὺς ἀνεχώρησε, καὶ τεσσαράκοντα ἡμέρας, ὑπὸ τοῦ διαβόλου ἑκοντὶ πειραζόμενος, διὰ νηστείας καθεῖλεν αὐτόν, Ἅγιος εἶ Κύριε.

Κάθισμα ἦχος γ'. Τὴν ὡραιότητα.

Μὴ θησαυρίζετε ἐπὶ γῆς ἄνθρωποι, ὅπου ὀρύσσουσι κλέπται καὶ κλέπτουσι, καὶ μὴ ὀμόσητε ποτὲ τὸ ὄνομα τοῦ Κυρίου, μὴ καταφρονήσητε μικροτέρου, προσέχετε, μηδὲ μεριμνήσητε τῆς τροφῆς καὶ ἐνδύματος, μὴ κρίνετε ἵνα μὴ κριθῆτε, λέγει Θεὸς ὁ Παντοκράτωρ.

Ἕτερον ἦχος πλ. δ'. Τὴν σοφίαν καί.

Ἀγαπήσεις ἐξ ὅλης σου τῆς ψυχῆς, καὶ ἐξ ὅλης ἰσχύος σου τὸν Θεόν, τὸν δέ γε πλησίον σου ἀγαπήσεις ὡς σεαυτόν. Καὶ ἀγαθοποιεῖτε τοὺς πάντας δανείζετε, καὶ τοὺς καταρωμένους ὑμῖν εὐλογεῖτε δέ. Πάντες ἀγαπᾶτε, τοὺς ἐχθροὺς ὑμῶν πάντας. Δότε καὶ δοθήσεται, καὶ αἰτεῖτε καὶ λήψεσθε, ταπεινῶν ὑψωθήσεται, ὑψῶν ταπεινωθήσεται. Μάθετε δὲ πάντες ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ εὑρήσετε ἀνάπαυσιν ἐν τῷ κόσμῳ καὶ εἰρήνην αἰώνιον.

Γαβριὴλ ὁ Ἀρχάγγελος ἐκ Θεοῦ, ἀπεστάλη μηνῦσαι τῷ ἱερεῖ, Ζαχαρίᾳ τὴν σύλληψιν, τοῦ Προδρόμου καὶ κήρυκος, τῷ δὲ μηνὶ τῷ ἕκτῳ, εἰς Ναζαρὲτ κατέρχεται, πρὸς τὴν προφητευθεῖσαν, Παρθένον ἀκήρατον, χαῖρε Κόρη, λέγων, ἡ κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος καὶ τὸ Πνεῦμα τὸ Ἅγιον. Ἡ δὲ Κόρη θεόληπτος, ταπεινῶς ἀποκρίνεται, ἰδοὺ νῦν ἡ δούλη Θεοῦ, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου, καὶ τέξομαι ἀπειράνδρως υἱὸν προαιώνιον.

Ὠδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ἀπὸ τῆς ἐρήμου κατελθών, ὁ Κύριός μου Ἰησοῦς, τοὺς Ἀποστόλους ἐξελέξατο, καὶ ἤρξατο ἐξ αὐτῆς, ποιεῖν τε καὶ διδάσκειν, πάσας τε τὰς νόσους θεραπεύειν, καὶ θαύματα ἐκτελεῖν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Πρῶτον πάντων θαῦμα ἐν Κανᾷ, παρούσης τῆς Μητρὸς αὐτοῦ, ὁ Ἰησοῦς Χριστὸς ἐποίησε, τὸ ὕδωρ μεταβαλών, εἰς οἶνον παραδόξως, τῆς αὐτοῦ θεότητος εἰς δόξαν, καὶ πίστιν τῶν Μαθητῶν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Λόγῳ Λόγε ἅγιε Θεοῦ, τὰς νόσους ἐξιώμενος, τὰς τῶν ἀνθρώπων ὡς φιλάνθρωπος, καὶ ἄνθρωπος ἀληθής, ἀνθρώποις ἀνεστράφης, πάντων τῶν νοσούντων μελῳδούντων, κυλλῶν, χωλῶν καὶ ξηρῶν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Τοὺς δαίμονας ἤλαυνε Χριστός, ἐπιτιμῶν μὴ φανερόν, αὐτὸν ποιεῖν βεβήλοις στόμασιν, ὡμίλει δ' ἁμαρτωλοῖς, συνήσθιε τελώναις, ἅπαντας καλῶν πρὸς σωτηρίαν, κραυγάζοντας τῷ Χριστῷ· Δόξα τῇ δυνάμει σου, Κύριε.

Τέμνει Ἰωάννου κεφαλήν, Ἡρώδης ὡς παρανομῶν, καὶ ὑπ' αὐτοῦ ἐξελεγχόμενος. Προλέγει δὲ Χριστὸς περὶ τοῦ Ἰωάννου, οὐκ ἐγήγερται ὁ μείζων τούτου, ἐν γεννητοῖς γυναικῶν· Δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Θεὸς ὢν καὶ κτίστης, τοῦ κόσμου παντός, τῇ θαλάσσῃ Χριστὸς ἐπετίμησε, γαλήνην παρεχόμενος τοῖς θείοις μαθηταῖς, τοὺς δαίμονας δὲ πνίγει, τοὺς δαιμονιζομένους, ἰώμενος βοῶντας· Δοξολογοῦμέν σε φιλάνθρωπε.

Ὁ βλέπων ἀβύσσους, τὸ βλέπειν τυφλοῖς, καὶ λεπροῖς τὴν ὑγείαν ἐχάρισε, κωφὸν δαιμονιζόμενον ἰάσατο Χριστός, θεο-

πρεπῶς καὶ ἄλλον, κωφὸν καὶ μογιλάλον, συμφώνως μελῳδοῦντας· Δοξολογοῦμέν σε φιλάνθρωπε.

Ἄρατε τὴν κλίνην, ἐφώνει Χριστός, εἰς τὸν οἶκον ὑμῶν καὶ ὑπάγετε, ὑγείαν χαριζόμενος τοῖς παραλυτικοῖς, καὶ ἄφεσιν παρέχων τὴν τῶν ἁμαρτημάτων, ὡς Θεὸς κραυγάζουσι· Δοξολογοῦμέν σε φιλάνθρωπε.

Τὴν αἱμοῤῥοοῦσαν, Χριστὸς ὁ Θεός, καὶ τὴν χρόνους ἴᾶται συγκύπτουσαν, τὴν παῖδα Χαναναίας τε, καὶ Πέτρου πενθεράν, καὶ τὴν καταφιλοῦσαν τοὺς πόδας αὐτοῦ πόρνην, συγχωρεῖ κραυγάζουσαν· Δοξολογοῦμέν σε φιλάνθρωπε.

Τῆς χήρας τὸν γόνον, τὸν μόνον ζωοῖ, ὁ ζωῆς καὶ θανάτου δεσπόζων τε, τὴν παῖδα Ἰαείρου τε καὶ Λάζαρον αὐτόν, τὴν δ' ἀδελφὴν Μαρίαν, μυρίσασαν τῷ μύρῳ, εὐλογεῖ κραυγάζουσαν· Δοξολογουμέν σε φιλάνθρωπε.

Ὠδὴ ϛ'. Σπλάγχνων Ἰωνᾶν.

Ὁ τὸν Ἰσραὴλ τὸ μάννα θρεψάμενος, ὀλίγοις τὰ νῦν ἄρτοις διέθρεψε, καὶ ἐχόρτασεν, ἐν ἐρήμῳ λαὸν χιλιάδας πολλάς, καὶ τοῦ πλήθους τῶν ἰχθύων δύο ἔπλησαν, πλοῖα οἱ κλεινοὶ Ἀπόστολοι, ἐν αἰνέσει Χριστὸν μεγαλύνοντες.

Ὁ τῶν Χερουβὶμ ἐπ' ὤμων καθήμενος, ἐν νώτοις Χριστὸς περιεπάτησε, τῆς θαλάσσης νῦν, καὶ ὁ Πέτρος τῇ θείᾳ κελεύσει Χριστοῦ, αἰτηθεὶς δὲ ὁ Χριστὸς τελεῖ τὰ δίδραχμα, τὰ τοῦ Καίσαρος τῷ Καίσαρι, δοῦναι λέγων, καὶ Θεῷ τὰ τοῦ Θεοῦ.

Σὺ εἶ ὁ Χριστός, ὁ Πέτρος ἀνέκραξε, τοῦ ζῶντος Θεοῦ υἱὸς συνάναρχος, ἐρωτώμενος. Καὶ σὺ Σίμων εἶ, Χριστὸς ἔφη, μακάριος, ἐπὶ ταύτῃ δὲ τῇ πέτρᾳ τῆς σῆς Πίστεως, κτίσω νῦν τὴν Ἐκκλησίαν μου, εἰς αἰῶνα αἰῶνος αἰνοῦσάν με.

Κόλπων οὐκ ἐκστάς, Πατρὸς Παντοκράτορος, ἐπ' ὄρους Χριστὸς μεταμορφούμενος, ὑπερέλαμψε. Καὶ νεφέλη φωτεινὴ ἐπισκιάσασα, καὶ φωνὴ ἐκ τῆς νεφέλης ἐπεγένετο, Οὗτος ὁ υἱός μου λέγουσα· Αὐτοῦ πάντοτε, πάντες ἀκούετε.

Κοντάκιον ἦχ. γ'. Ἡ Παρθένος.

Τὸν υἱόν σου δόξασον, τῇ δόξῃ ἣν εἶχον Πάτερ, καθὼς σὲ ἐδόξασεν, ἐπὶ τῆς γῆς ὁ υἱός σου. Θέλω δέ, οὓς δέδωκάς μοι χριστιανούς μου, ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι, καὶ δοξάσωσί με πάντες, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας. Ὁ οἶκος.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς· Ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ'. Οἱ παῖδες εὐσεβείᾳ.

Χριστὸς τοῖς Ἀποστόλοις καὶ τοῖς ὄχλοις, διδαχαῖς ποικίλαις καὶ σοφαῖς ἐλάλησε, πηγὴ ὢν σοφίας καὶ χρηστότητος, καὶ πολλὰς παραβολὰς πανσόφως ἔλεγεν, ὁ τῶν Πατέρων Θεὸς εὐλογημένος.

Χριστοῦ τοὺς θείους λόγους ὁ ἀκούων καὶ ποιῶν, ἀνδρὶ φρονίμῳ παρωμοίωται, ὅστις τὴν οἰκίαν ᾠκοδόμησεν, ἐπὶ πέτραν ἀῤῥαγῆ καὶ ἐστερέωτο, τοῦ τῶν Πατέρων Θεοῦ εὐλογημένου.

Ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν, φησί, καὶ τὰ μὲν κατηχρειώθη καὶ ἀπώλετο, τὸ δὲ εἰς καλὴν γῆν πεσὸν τέταρτον,

ἀπεδίδου τὸν καρπὸν πλουσιοπάροχον, τῷ τῶν Πατέρων Θεῷ εὐλογημένῳ.

Τῷ σπείραντι ἀνδρὶ τὸ καλὸν σπέρμα, ὁ ἐχθρὸς ἐλθὼν ζιζάνια ἐνέσπειρε. Ζύμῃ δὲ καὶ κόκκῳ τοῦ σινάπεως, ὡμοιώθη βασιλεία ἡ οὐράνιος, ἧς πάντας ἡμᾶς ὁ Θεὸς καταξιώσαι.

Ὁμοία θησαυρῷ ἐγκεκρυμμένῳ, οὐρανῶν ἡ βασιλεία πάλιν λέγεται. Πρὸς δὲ μαργαρίτης τε πολύτιμος, καὶ σαγήνη ἐμβληθεῖσα εἰς τὴν θάλασσαν, ἧς πάντας ἡμᾶς ὁ Θεὸς καταξιώσαι.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς.

Πρόβατά τις ἑκατὸν ἄνθρωπος ἔχων, τὸ πλανώμενον πρόβατον ἄρας, μᾶλλον ἐπὶ τούτῳ ἢ τοῖς ἄλλοις χαίρει, ὡς ἡ γυνή, ἣν ἀπώλεσεν εὑροῦσα ἐν οἰκίᾳ δραχμήν. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Μυρία ὁ βασιλεὺς τάλαντα δούλῳ, ὑπ' αὐτοῦ παρακληθεὶς ἀφῆκεν. Ὁ οἰκοδεσπότης δὲ τῆς ἀμπέλου, τῶν ἐργατῶν πολλοὺς πέμπει, συμφωνήσας δηναρίου αὐτοῖς. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄνθρωπός τις εἶχε δύο τέκνα μόνον, ἐναντία δὲ αὐτῶν τοῖς λόγοις, οὐ γὰρ ἐπορεύθησαν καθὼς εἶπον. Ἕτερος δὲ παρεδίδου ἀμπελῶνα τὸν αὐτοῦ γεωργοῖς. Διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν, εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Βασιλεύς τις γάμους τῷ υἱῷ ποιήσας, ἐξαπέστειλε πολλοὺς καλέσαι, οἱ δὲ ἀμελήσαντες οὐκ ἀπῆλθον. Εἰσελθὼν δέ, καὶ μὴ ἔχοντά τινα ἔνδυμα γάμου ἰδών, εὐθὺς εἰς τὸ σκότος τὸ

ἐξώτερον, δήσας χεῖρας καὶ πόδας αὐτὸν ἐξέβαλεν, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς εἰς τοὺς αἰῶνας.

Φρόνιμοι πέντε Παρθένοι μωραὶ πέντε, καὶ τὰ τάλαντα τὰ εἰς τοὺς δούλους διαμοιραζόμενα κατ' ἀξίαν. Καὶ βασιλεύς, ἐπὶ θρόνου μετ' Ἀγγέλων τε, καὶ κρίσιν ποιῶν. Διὸ προσκυνοῦντες ἱκετεύσωμεν, Βασιλεῦ τοῦ ἐλέους ἡμᾶς ἐλέησον, καὶ ἐκ δεξιῶν σου στῆσον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τύπος τῆς ἁγνῆς.

Ἄνθρωπός τις περιέπεσε, λησταῖς καὶ τοῦτον ἐκδύσαντες κατεπλήγωσαν. Ἄλλος δὲ συκῆν, ἀποτεμεῖν θέλων ἄκαρπον, ἐκωλύθη εὐλόγοις τοῖς ῥήμασι. Καθὼς ὁ οἰκονόμος, τῆς ἀδικίας δεδικαίωται.

Ἄσωτος υἱὸς ἐπέστρεψε, καὶ ὁ Πατὴρ δραμὼν αὐτὸν κατεφίλησεν· ὁ πλούσιος δέ, λιμοκτονοῦντα τὸν Λάζαρον, παριδὼν ἐν τῷ ᾅδῃ ὀδύρεται, ὅπου πυρὶ ἀσβέστῳ ἀκαταπαύστως βασανίζεται.

Ἦν τις κριτὴς ἀθεόφοβος, καὶ καθ' ἑκάστην χήρα πρὸς αὐτὸν ἤρχετο. Φαρισαῖος δέ, καὶ ὁ Τελώνης προσηύχοντο, ἀλλ' ὁ μὲν κατεκρίθη καυχώμενος, ὁ δὲ ἐδικαιώθη, ἱλάσθητί μοι, λέγων Κύριε.

Ταῦτα καὶ ἕτερα πλείονα, ἦν διδάσκων τοὺς πάντας καὶ λέγων Κύριος, παραβολικῶς, φέρων αὐτοὺς πρὸς μετάνοιαν, ἀψευδῶς δὲ πρὸς τούτοις ἐλάλησε, καὶ περὶ τῶν μελλόντων, ὡς τοῦ Θεοῦ Πατρὸς ὁ σύμβουλος.

Ἅπαντα φησὶ καθ' ἕκαστον, λεπτομερῶς ἐὰν θελήσῃ συγγράψασθαι, Εὐαγγελιστής, διδάγματά τε καὶ δόγματα, τοῦ Σωτῆρος ἡμῶν καὶ τὰ θαύματα, οὐδὲ αὐτὸς ὁ κόσμος, οἶμαι, χωρήσει τὰ γραφόμενα.

Εἱρμὸς ἄλλος. Τὴν φωτοφόρον νεφέλην.

Ὄντως μυστήριον ξένον, ὁ ἐν ὑψίστοις θωάζων, σὺν τῷ Πατρὶ καὶ τῷ σεπτῷ, Πνεύματι συγκατέβη, καὶ ἐπὶ ὄνον δι' ἡμᾶς, ἐπέβη καθήμενος ὡς ἄνθρωπος· μεγαλύνωμεν πάντες, συγκατάβασιν αὐτοῦ τὴν ὑπὲρ νοῦν.

Τοῦ ἱεροῦ ἀποβάλλει, τοὺς ἀνιέρως οἰκοῦντας, ξηραίνει δὲ καὶ τὴν συκῆν, γραμματεῖς ταλανίζει, καὶ Σαδδουκαίους τῶν νεκρῶν, διδάσκει ἀνάστασιν μὴ θέλοντας, καὶ προλέγει τὸ πάθος, καὶ τὴν ἔγερσιν αὐτοῦ τοῖς Μαθηταῖς.

Δύο λεπτὰ τὰ τῆς χήρας, καὶ τὴν ἀλείψασαν μύρῳ, καὶ ἐπαινεῖ καὶ ἐκτελεῖ, Ἰουδαίων τὸ Πάσχα, καὶ συνδειπνεῖ τοῖς Μαθηταῖς, καὶ πλύνει τοὺς πόδας, καὶ τὸ ἅγιον, παραδίδωσιν ὄντως, Λειτουργίας τὸ μυστήριον αὐτοῖς.

Βαβαὶ βαβαὶ παρεδόθη, ἐκ τοῦ Ἰούδα ὁ Κτίστης, καὶ ἐκ τοῦ Πέτρου τοῦ θερμοῦ, φεῦ, καὶ φίλου ἠρνήθη, καὶ ἐσταυρώθη δι' ἡμᾶς, καὶ ὅλος ὁ Κόσμος ἰδὼν ἔφριξε, καὶ λῃστὴς θεολόγος· καὶ ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν.

Χριστὸς ἀνέστη ὑμνεῖτε. Χριστὸς τοῦ τάφου σκιρτᾶτε. Χριστὸς ἐγείρας τοὺς νεκρούς, καὶ τὸ *χαῖρε* τῇ Κόρῃ, καὶ μυροφόροις ἅμα δούς, καὶ πᾶσιν ὀφθεὶς τοῖς Μαθηταῖς αὐτοῦ, ἀνελήφθη ἐν δόξῃ, τὸν Παράκλητον αὐτὸν πέμψας αὐτοῖς.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Τῶν Μαθητῶν πρεσβείαις σου, καὶ ἡμῖν τοῖς σοῖς δούλοις, Κύριε ἐξαπόστειλον, τὸν Παράκλητον πάλιν, τὸ Πνεῦμα τῆς ἀληθείας, ἵνα καθοδηγήσῃ, ἡμᾶς πρὸς τὴν ἀλήθειαν, καὶ μείνῃ εἰς τὸν αἰῶνα, φωταγωγοῦν, τὰς καρδίας πάντων καὶ συνετίζον, πληρῶσαι τὸ σωτήριον τὸ Εὐαγγέλιόν σου.

Τὸν Γαβριὴλ ταξίαρχον κεκτημένοι Παρθένε, τὸ *χαῖρέ* σοι προσᾴδομεν, τῇ Κεχαριτωμένῃ, χαῖρε ἀνύμφευτε Νύμφη, τοῦ Πατρὸς τοῦ ἀνάρχου, χαῖρε Μήτηρ ἀπείρανδρε, τοῦ Λόγου τοῦ συνανάρχου, χαῖρε παστάς, ἔμψυχε τοῦ Πνεύματος τοῦ Ἁγίου, χαῖρε τὸ Εὐαγγέλιον, τῆς ἡμῶν σωτηρίας.

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

Τῶν Εὐαγγελίων τὴν τετρακτύν, τοῦ Θεοῦ καὶ Λόγου, τὴν σωτήριον τοῖς βροτοῖς, καὶ τῆς αἰωνίου ζωῆς τὸ πρυτανεῖον, σὲ πάντες προσκυνοῦμεν καὶ μεγαλύνομεν.

Στίχοι.

Ἰδού σοι, φίλη κεφαλή, τὸ Εὐαγγέλιόν σου,
τὸ εὐαγγελιζόμενον Κύριον τὸν Θεόν σου,
Τὸν εὐαγγελιζόμενον τὸ ἄκρον ἀγαθόν σου,
τὴν βασιλείαν οὐρανῶν τὴν περιπόθητόν σου.
Ἐδῶ, ψυχὴ ἀγαπητή, καὶ τὸ ψαλτήριόν σου,
ψαλλόμενον κατὰ τὸν σὸν πόθον τὸν ἱερόν σου.
Ψάλλε, εὐθύμει, ἐνθυμοῦ καὶ τὸν Καισάριόν σου,
καὶ πολιτεύου εὐλαβῶς εἰς ὅλον τὸν καιρόν σου.

στ. 8

ΥΜΝΟΙ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ὕμνος πρῶτος, οὗ ἡ Ἀκροστιχίς.

Ἄξιον καὶ πάλιν ἐπάξιον,
ὕμνον σοι προσφέρειν, Πανύμνητε.
Ἀλλ' ἀδυνατῶ ὁ ἀνάξιος
Κωνσταντῖνος πάλιν Καισάριος.

Ἄναρχος Θεὸς καταβέβηκε,
καὶ ἐν τῇ Παρθένῳ κατῴκησε.
Ξένον καὶ φρικτὸν τὸ μυστήριον,
πάντα ὑπερβαῖνον μυστήρια.
Ἴσος γὰρ Πατρὶ ὢν καὶ Κύριος,
Ἴσος τῇ Μητρὶ ἐχρημάτισε.
Ὅλος ὢν Θεός, ὅλος ἄνθρωπος
γέγονεν ἐκ σοῦ ὡς φιλάνθρωπος.
Νοεραὶ Δυνάμεις εὐφραίνεσθε,
Γηγενεῖς σκιρτᾶτε καὶ χαίρετε.
Κόσμος ὁρατὸς καὶ ἀόρατος,
δόξαν τὴν παγκόσμιον μέλψωμεν,
Ἄγγελοι Ἀγγέλων ἀγλάϊσμα,
ἄνθρωποι ἀνθρώπων διάσωσμα.
Ἵνα σοι τὸ χαῖρε κραυγάζωμεν,
χαρὰν ἡμῖν Κόρη κατάπεμψον.
Παρθενίας χαῖρε κειμήλιον,
μητροπαρθενίας ἡ ἕνωσις.
Ἀφθαρσίας χαῖρε θησαύρισμα,
θησαυρὲ τῆς δόξης Θεοῦ ἡμῶν.

Λάμπουσα λαμπὰς χαῖρε σύμπαντα,
οὐρανόν, καὶ γῆν καὶ τὴν ἄβυσσον.
Ἱλασμὸν τοῦ κόσμου κυήσασα,
ἵλεως γενοῦ μοι τῷ δούλῳ σου.
Νομοδότην πάντων ἡ τέξασα,
ἀνομίας πάσης με κάθαρον.
Ἐλπὶς τῶν πιστῶν ἀκαταίσχυντε,
σῶσον τοὺς εἰς σὲ νῦν ἐλπίζοντας.
Πίστει σε καὶ πόθῳ δοξάζομεν,
μῆτερ Μαριὰμ κοσμοπόθητε,
Ἄνακτα ἀνάκτων κυήσασαν,
Ἄνασσαν ἀνάκτων κηρύττομεν.
Ξένη καὶ φρικτὴ καὶ ἀσύγκριτος
ἡ σὴ δόξα, Κόρη, καὶ ἄῤῥητος.
Ἵνα σε δοξάζωσιν Ἄγγελοι,
εἰς τοὺς οὐρανοὺς ἀναβέβηκας.
Ὅλη καλλονή, ὅλη ἄμωμος
ὤφθης τῷ τῶν ὅλων Θεῷ ἡμῶν.
Νέος οὐρανὸς ἐπουράνιος,
καὶ τῶν οὐρανίων βασίλισσα.
Ὕμνοις ἀνυμνεῖν σε, πανύμνητε,
ἄξιον, καὶ ὄντως ἐπάξιον.
Μυροθήκη σὺ γὰρ τοῦ Πνεύματος
μῦρον νοητὸν ὡς πηγάσασα.
Νόμου τοῦ δοτῆρος γεννήτρια,
ὑπὲρ νόμους, Κόρη, τῆς φύσεως.
Ὄρος τοῦ Θεοῦ τὸ πανάγιον,
ὄχημα Θεοῦ τὸ πανάριστον.

Νύμφη τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος,
μήτηρ τοῦ Υἱοῦ, ἐμοῦ Δέσποινα.
Σοῦ τὸ καθαρὸν καὶ πανάμωμον
γῆς τὸ ῥυπαρὸν ἀπεκάθηρε.
Ὅθεν καὶ τοὐμὸν ἀποκάθαρον,
Ἵνα καθαρὸς ὢν προσεύχωμαι.
Ἰησοῦς Πατρὶ συνδοξάζεται,
Μαριὰμ Υἱῷ συνευφραίνεται.
Πάντιμε, πανένδοξε, πάνσεπτε.
πάνσεμνε, παμπόθητε, πάναγνε.
Ῥανόν μοι ῥανίδα τοῦ Πνεύματος,
ἡ τὸ Πνεῦμα ὅλον χωρήσασα.
Ὅλης τῆς θεότητος σκήνωμα,
ὅλον τοῦ Θεοῦ με ἀπέργασαι.
Σῶμα καὶ ψυχὴν ἀναμάρτητε,
τὸν ἁμαρτωλόν, Κόρη, σῶσόν με.
Φῶς τὸ προαιώνιον λάμψασα,
φωτὶ αἰωνίῳ με φώτισον.
Ἔλεος γενοῦ μοι τῷ δούλῳ σου,
βρύσις τοῦ ἐλέους ὑπάρχουσα.
Ῥεῖθρα τῶν δακρύων μου πρόσδεξαι,
χάριτος σταγόνα μοι στάζουσα.
Ἐν τῇ κρίσει, Κόρη, σὲ ἴδοιμι
σκέπην, τὸν κριτὴν ὡς κυήσασαν.
Ἵνα αἰωνίως δοξάζω σε,
τὴν δεδοξασμένην αἰώνια.
Ναί, Παρθένε, ναί, τῶν γονέων σου
καὶ πάντων πρεσβείαις Ἁγίων σου.

Πέλαγος γὰρ οὖσα δυνάμεως,
πάντα, Παναγία μου, δύνασαι.
Ἄβυσσος ἐλέους, ὡς ἄβυσσον
μόνη οἰκτιρμῶν σὺ κυήσασα.
Νοῦς ἀΰλων νόων ἀνώτερος,
σῶμα ὑπὲρ πᾶν σῶμ' ἁγνότερον,
Ὕψιστον γεννήσασα Κύριον,
ὕψιστος Κυρία γεγένησαι.
Μεγαλύνει τοίνυν τὸν Κύριον,
καὶ σὲ τὴν Κυρίαν τὸ πνεῦμά μου.
Νέμοις σωτηρίαν τοῖς δούλοις σου,
τοῖς σὲ μεγαλύνουσι Δέσποινα.
Ἡ τιμιωτάτη τῆς κτίσεως, δέχου
τὰς φωνὰς τῶν τιμώντων σε.
Τήρησον τὸν νοῦν μου ἀμόλυντον,
τοῦ ὑμνεῖν σε Κόρη ἀμόλυντε.
Ἔχεις τῶν χαρίτων τὸ πέλαγος,
χάρισαί μοι χάριτας τέσσαρας,
Ἀφιλαργυρίαν, ἁπλότητα,
ἀνεξικακίαν, χρηστότητα.
Λῦσον τὰς σειρὰς τῆς κακίας μου,
τῆς ἀρᾶς τὴν Εὔαν ἡ λύσασα.
Λύτρωσιν κυήσασα, λύτρωσαι
ἀγαθὴ κἀμὲ τῆς κολάσεως.
Ἄδηλα καὶ κρύφια πάντα σοι
ὁ Υἱός σου μῆτερ ἐδήλωσε.
Δήλωσόν μοι τοίνυν τὸ τέλος μου,
πρὸς διόρθωσίν μου, πανάμωμε.

Ὕμνος τῷ Θεῷ περιπόθητος
ἡ ὑμνολογία σου πέφυκε,
Νῦν ἐπὶ τῆς γῆς ὁ ἐφήμερος,
καὶ ἐν οὐρανοῖς ὁ αἰώνιος.
Ἀνυμνῶ σε νῦν τοίνυν Δέσποινα,
καὶ ἐν οὐρανοῖς δὲ εὐδόκησον,
Τότε ὅταν σοι παριστάμενος
πρόσωπον πρὸς πρόσωπον βλέπω σε.
Ὡς τοῦ φιλανθρώπου φιλάνθρωπος
μήτηρ, ἐπ' ἐμοὶ οὖν σπλαγχνίσθητι.
Ὅλον με, Παρθένε, ἀνάπλασον,
μολυνθέντα ὅλον τοῖς πταίσμασι,
Ἀληθὴς ὡς μήτηρ τοῦ Πλάστου μου,
καὶ τῆς ἀναπλάσεως πρόξενος.
Νοσημάτων πάντων ἡ ἴασις,
ἴασαι νοσοῦντά με, ἴασαι.
Ἀσωμάτων οὖσα Βασίλισσα,
μετὰ Ἀσωμάτων με σύνταξον.
Ξένον καὶ μεγάλον τὸ χάρισμα,
σὺ δὲ δυνατὴ τοῦ χαρίσασθαι.
Ἵνα σοῦ τὸ κράτος θαυμάσωσιν,
Ἄγγελοι καὶ ἄνθρωποι σύμπαντες.
Ὅτι ὁ Θεὸς μέγας Κύριος,
καὶ μετὰ Θεὸν σὺ Κυρία μου.
Σὺ ὁ χορτασμὸς τῆς καρδίας μου,
σὺ ὁ χορηγὸς τῆς ὑγείας μου.
Καὶ τῆς ἡσυχίας μου αἴτιον,
καὶ τῆς σωτηρίας μου ὄργανον.

Ὡς ἐμεγαλύνθη ἡ δόξα σου,
ὡς ηὐλόγηταί σου τὸ ὄνομα,
Νῦν εἰς τὸν αἰῶνα τὸν τρέχοντα,
καὶ εἰς τὸν αἰῶνα τὸν μένοντα.
Σῶσον τοὺς γονεῖς μου, πανάγαθε,
καὶ τοὺς συγγενεῖς μου, πανάμωμε,
Τοὺς ἐχθρούς, καὶ φίλους καὶ ἅπαντας
τοὺς Χριστιανοὺς ταῖς πρεσβείαις σου.
Ἄνοιξον καὶ πάντας εἰσάγαγε,
τοὺς Χριστιανοὺς εἰς παράδεισον.
Ναί, Παρθένε, ναί, Παναγία μου,
τέλος δὲ κἀμὲ τὸν οἰκέτην σου,
Τὸν ἁμαρτωλόν, τὸν ἀνάξιον,
πάσης δὲ παιδείας ἐπάξιον.
Ἵνα μετὰ πάντων δοξάζω σε
πάντοτε κἀγὼ ὁ ἐλάχιστος.
Νεῦσον παρακλήσεσι, Δέσποινα,
τῶν σῶν οἰκετῶν, πανσεβάσμιε.
Ὅτι σε καὶ μόνην γινώσκομεν,
πάντες ἐν Θεῷ παντοδύναμον.
Σὲ γαρ ὁ Θεὸς ἐδωρήσατο
πάντων προστασίαν καὶ φύλακα,
Πάντων σωτηρίαν ὡς θέλουσαν,
καὶ Σωτῆρα πάντων ὡς τέξασαν,
Ἀγαθόν, φιλάνθρωπον, ἄπειρον,
προνοητικόν, ἀκατάληπτον·
Λόγον τοῦ Θεοῦ ὑπὲρ λόγον δέ,
φῶς τὸ ἐκ φωτός, ὑπὲρ πᾶν δὲ φῶς,

Ἴσον τῷ Πατρὶ καὶ τῷ Πνεύματι,
σύμμορφον, συνάναρχον, σύνθρονον·
Νεύματι τὰ πάντα τὸν κτίσαντα,
ἄκτιστον Θεὸν προαιώνιον,
Καὶ Θεὸν ἡμῶν Παντοκράτορα,
ὕψιστον Θεὸν παντοδύναμον.
Ἀλλ' ὦ γλυκυτάτη Κυρία μου,
καὶ παντοτεινή μου Βασίλισσα,
Ἴσον τῇ σῇ δόξῃ οὐδ' Ἄγγελοι
ὕμνον προφωνῆσαι ἰσχύουσι.
Σὺ δ' ὡς χριστομίμητος πρόσδεξαι
κἀμέ, ὡς τὴν χήραν ὁ Κύριος.
Ἄξιον ποιοῦσά με πάντοτε,
ἵνα κοινωνῶ ὁ ἀνάξιος,
Ῥήμασι τοῖς θείοις ἑπόμενος,
τὰ φρικτὰ καὶ θεῖα μυστήρια.
Ἵνα δι' αὐτῶν ἐπιτύχοιμι
ζωῆς αἰωνίου καὶ κρείττονος·
Ὅπως αἰωνίως δοξάζω σε,
καὶ σοὶ τὸν Θεὸν συνδοξάζωμεν,
Σὺν Ἀγγέλων θείοις στρατεύμασι,
καὶ Ἁγίων πάντων τοῖς τάγμασι.
στ. 93

Ὕμνος δεύτερος, οὗ ἡ Ἀκροστιχὶς καὶ ὁ Ἦχος.

Ἡ Ἀσώματος φύσις τὰ Χερουβὶμ
Ἀσιγήτοις σε ὕμνοις δοξολογεῖ.

Ἡ πανύμνητος πάλιν ἐμαῖς φωναῖς
Ἀνυμνείσθω Παρθένος ταῖς ταπειναῖς.
Στόμα πάλιν ᾀδέτω ἁμαρτωλὸν
Ὠδὴν θείαν καὶ ὕμνον, ὅτι καλόν.
Μαριὰμ θεομῆτορ, δόξα Θεοῦ,
Ἀσωμάτων τὸ ᾆσμα, ὕμνος λαοῦ.
Τὸ πανθαύμαστον ὄντως θαῦμα τῆς γῆς,
Ὁ Ναὸς τοῦ Ὑψίστου ὁ χρυσαυγής.
Στύλε πύρινε, ἔμψυχε, θεϊκέ,
Φωτεινότατε θρόνε καὶ λογικέ.
Ὑπερτέρ' ἀσυγκρίτως τῶν Χερουβίμ,
Σοφωτέρα καὶ Θρόνων καὶ Σεραφίμ.
Ἱλαστήριον κόσμου πρὸς τὸν Θεόν,
Σωτηρία καὶ σκέπη πάντων λαῶν.
Τὸ ἐξαίσιον κάλλος τῶν οὐρανῶν,
Ἀνερμήνευτος δόξα, ὕψος καινόν.
Χαρισμάτων ἀῤῥήτων ὁ οὐρανός,
Εὐκλεῶν νοημάτων ὠκεανός.
Ῥάβδος πλήξασα, πνίξασα Φαραώ,
Ὄρος ἅγιον μόνον μόνῳ Θεῷ.
Ὑψηλότατε πύργε Χριστιανῶν,
Βασιλὶς καὶ προστάτις τῶν γηγενῶν.
Ἰησοῦ Δέσποτά μου, σὲ προσκυνῶ,
Μαριὰμ Δέσποινά μου, σὲ ἀνυμνῶ.

Ἀσιγήτοις τε ὕμνοις δοξολογῶ
  Σὺν Πατρὶ καὶ τὸ Πνεῦμα, καὶ εὐλογῶ.
Ἰησοῦ μου γλυκύτατε, καὶ Σωτήρ,
  Γλυκυτάτη μου μήτηρ, καὶ ὁ Πατήρ,
Ἡ ἁγία μου Πίστις, Μῆτερ, Χριστέ,
  Τὸ ἐκ βρέφους σέβας ὑμεῖς ἐστέ.
Ὁ ἐμὸς θεῖος ἔρως, καὶ ἡ χαρά,
  Ἰσχύς, δόξα, προσκύνησις καθαρά.
Σὲ πιστεύω, σὲ τρέμω, σὲ ἀγαπῶ,
  Σὲ ὑμνεῖν, Ἰησοῦ μου, οὐ σιωπῶ.
Ἑξαπτέρυγα ζῶα τὰ Σεραφὶμ
  Ὕμνοις ὃν ἀνυμνοῦσι καὶ Χερουβίμ.
Μαριὰμ Παναγία Μῆτερ Χριστοῦ,
  Νόες, φύλακες θεῖοι λαοῦ πιστοῦ.
Ὁ μακάριος Πρόδρομος ὁ κλεινὸς
  Ἰωάννης τοῦ κόσμου αὐγερινός.
Στίφη θείων Πατέρων καὶ Προφητῶν,
  Δωδεκὰς ἡ ἁγία τῶν Μαθητῶν.
Οἰκουμένης διδάσκαλοι ἱεροί,
  Ξένον ἄκουσμα Μάρτυρες οἱ στεῤῥοί.
Ὀρεσίτροφοι ὅσιοι Μοναστaί,
  Λειτουργοὶ Χριστοῦ πάντες καὶ ἐρασταί.
Ὁμοφώνως συνάμα καὶ ὁ χορός,
  Γυναικῶν τῶν Ἁγίων, ὁ ἱερός,
Ἐκτενῶς δυσωπεῖτε πάντες Χριστόν,
  Ἰησοῦν τὸν Σωτῆρα ὑπὲρ ἡμῶν.

στ. 52

Ὕμνος τρίτος, οὗ ἡ Ἀκροστιχὶς καὶ ὁ Ἦχος.

Ἑξαπτέρυγα ζῶα τὰ Σεραφὶμ
Ταῖς ἀπαύστοις φωναῖς σὲ ὑπερυψοῖ.

Εὐλογῶν εὐλογήσω σε Μαριάμ,
Ξένον θαῦμα καὶ ἄκουσμα ἀπ' Ἀδάμ.
Ἀποῤῥήτων χαρίτων καὶ δωρεῶν
Πηγὴ πέλεις γὰρ Κόρη μετὰ Θεόν.
Τὸ δοχεῖον οὐσίας τῆς θεϊκῆς,
Ἐκλαμπρότης οὐσίας τῆς χοϊκῆς.
Ῥόδον, Κόρη, καὶ κρῖνον τῶν οὐρανῶν,
Ὕμνος πάντων, Ἀγγέλων, καὶ γηγενῶν.
Γόνε Ἄννης καὶ γένος Δαβιτικόν,
Ἆσμα ὄντως καὶ μέλος ἀγγελικόν.
Ζωῆς μήτηρ Μαρία, καὶ ζωτικὴ
Ὡραιότης τοῦ κόσμου πνευματική.
Ἁπασῶν ἀνωτέρα τῶν ἀρετῶν,
Τῆς ψυχῆς μου τὸ ἄκρον τῶν ἐφετῶν.
Ἀνωτέρ' ἀσυγκρίτως πάσης τιμῆς,
Σθένος ὄντως καὶ στύλος ψυχῆς ἐμῆς.
Ἔαρ θεῖον καὶ ἔρως τῶν καρδιῶν
Ῥῶσις, γνῶσις Ῥωμαίων μετὰ Θεόν.
Ἀναφαίρετον κλέος τῶν γηγενῶν,
Φῶς ἐξαίρετον ὅλων τῶν οὐρανῶν.
Ἰσχύς, δόξα, καὶ μέλος σῶν ὑμνητῶν,
Μελῳδούντων ἀπαύστως σὸν τοκετόν.
Τῆς θεότητος ὅλης χωρητική,
Ἀνθρωπότητος ὄντως θεουργική.

Ἰατρὲ τῶν πνευμάτων καὶ τῶν σαρκῶν,
Σὰρξ καὶ αἷμα ἀμόλυντον, ζωτικόν.
Ἀπειρόγαμε νύμφη τοῦ ποιητοῦ,
Παναγία ἡ Μήτηρ τοῦ λυτρωτοῦ.
Ἁμαρτίας ἁπάσης ἀπαλλαγή,
Ὑμνουμένη ἀπαύστως ἐν πάσῃ γῇ.
Σωτηρία τοῦ κόσμου μετὰ Θεόν,
Τὸ πανσέβαστον ὄνομα τῶν λαῶν.
Οἰκουμένης ὁ στύλος ὁ ἀῤῥαγής,
Ἱερέων ὁ πόθος ὁ εὐαγής.
Στέφος κάλλους Ἀνάκτων τῶν εὐσεβῶν,
Φυλακτήριον μέγα τῶν εὐλαβῶν.
Ὦ ῥημάτων ἁγίων ὁ ποταμός,
Νοημάτων ἐνθέων ὠκεανός.
Ἁγιότητος πάσης ὁ μιμητὴς
Ἰησοῦ τοῦ Υἱοῦ σου, καὶ πληρωτής.
Σὲ δοξάζω, Παρθένε, σὲ ἀνυμνῶ,
Σοὶ λατρεύω, Κυρία, σοὶ προσκυνῶ,
Ἐν ἑκάστῃ ἡμέρᾳ τε καὶ νυκτί,
Ὑπερύμνητε Κόρη, καὶ λατρευτή.
Παναγία, χρυσῆ μου Κόρη, φωνή,
Ἐμὴ δόξα, καὶ Δέσποινα φωτεινή.
Ῥυομένη με ῥύου τῶν σαρκικῶν,
Ὑπηρέτην με ποίει τῶν ψυχικῶν.
Ψυχῇ, γλώσσῃ, Κυρία μου, καὶ χειρί,
Ὁ σὸς δοῦλος (εἰ ταῦτα καὶ ἀπορεῖ)
Ἵν' ἀπαύστως ὑμνῇ σε ὡς εὐπορεῖ.

στ. 53

Ὕμνος τέταρτος, οὗ ἡ Ἀκροστιχὶς καὶ ὁ Ἦχος.

Τῶν Ἀγγέλων τε πᾶσα ἡ στρατιὰ
Παναγίοις σε ᾄσμασιν εὐφημεῖ.

Τίς μοι δώσει Ἀγγέλων σοφίαν νῦν,
Ὦ πανάγιοι Ἄγγελοι, καὶ φωνήν;
Νόες ἄϋλοι, δῆμος τοῦ οὐρανοῦ,
Ἄσματ' ἄπαυστα ἔνθεα τοῦ Θεοῦ.
Γῆς ἁπάσης φωστῆρες οἱ νοεροί,
Γηγενῶν οἱ σωτῆρες καὶ οἱ φρουροί.
Ἐπαινέσαι καὶ πάλιν τὸν ὑψηλὸν
Λίαν ἔπαινον πάντων, ὅτι καλόν.
Ὡς Ἀγγέλων Κυρίαν, καὶ τῶν βροτῶν,
Νῦν καὶ πάντοτε οὖσαν στέφος διττόν.
Τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ,
Εὐσεβείας τῷ κόσμῳ τοῦ φυτουργοῦ.
Πλήρωμ' ἅγιον Πόλου τοῦ φωτεινοῦ,
Ἅδου κένωσιν, ᾅδου τοῦ σκοτεινοῦ.
Συμφωνίαν τὴν πρώτην μετὰ Θεοῦ,
Ἁγιάσματος πρώτην δόσιν λαοῦ.
Ἡμετέραν ἐλπίδα ζωοποιόν,
Σωτηρίας ὀχύρωμα κραταιόν.
Τὴν ἀσύγκριτον φύσιν μετὰ Θεόν,
Ῥεῖθρα χέουσαν δώρων ὑπερφυῶν.
Ἁγιώτατον ᾆσμα τοῦ Μιχαήλ,
Τὸ θεόλεκτον Χαῖρε τοῦ Γαβριήλ.
Ἰησοῦν τὴν τεκοῦσαν Ἐμμανουήλ,
Ἀλατόμητον ὄρος τοῦ Δανιήλ.

Παναγίας Τριάδος τὴν συγγενῆ,
 Ἀδὰμ ᾄδου τὴν σώσασαν παγγενῆ.
Ναὸν ἔμψυχον μόνον θεοπρεπῆ,
 Ἀποῤῥήτῳ ἁγνείᾳ θεοτερπεῖ.
Γνώστην, μύστην ἐξαίρετον τοῦ Θεοῦ,
 Ἰησοῦ τῇ δυνάμει τοῦ σοῦ Υἱοῦ.
Ὀφθαλμὸν παντεπόπτην μετὰ Χριστόν,
 Ἰσχύν, κράτος, καὶ ἔλεος τῶν Πιστῶν.
Σὲ δοξάζω, Πανάμωμε, σὲ ὑμνῶ,
 Σοὶ λατρεύω, Παρθένε, σοὶ προσκυνῶ,
Ἔργοις, λόγοις, ὁ δοῦλός σου ὁ μικρός,
 Αἰωνία Κυρία μου, καὶ οἰκτρός.
Σὺν ἐμοὶ δὲ καὶ πάντες Χριστιανοί,
 Μεγαλύνατε ταύτην λαμπρᾷ φωνῇ.
Ἀνυμνήσωμεν ταύτην πνευματικῶς,
 Σὺν Ἁγίων τοῖς πνεύμασιν, ὡς εἰκός.
Ἵνα χάριν καὶ ἔλεος σὺν αὐτοῖς
 Νῦν καὶ τότ' ἐπιτύχωμεν δι' αὐτῆς.
Εὐφημήσατε πᾶσαι αἱ πατριαί,
 Ὑμνῳδήσατε Νόων αἱ στρατιαί.
Φωνὴν ἄρωμεν ἅπαντες πρὸς αὐτήν,
 Ἡμῶν Δέσποιναν ἔνθεον καὶ σεπτήν.
Μακαρία Μαρία προσκυνητή,
 Ἐν τῇ γῇ, ἐν ὑψίστοις εὐλογητή,
 Ἰησοῦ Μῆτερ μόνη καὶ αἰνετή.

Ὕμνος Πέμπτος λεγόμενος

Μεγαλυνάριον.

Μεγαλύνω σε, Κυρία, τὴν μεγάλην πρὸς Θεὸν
παῤῥησίαν, καὶ ἐλπίδα τῶν θεοσεβῶν λαῶν.
Μεγαλύνω σε, Κυρία, τὴν μεγάλην τῶν πιστῶν
σωτηρίαν καὶ πρεσβείαν, ὡς γεννήσασαν Χριστόν.
Μεγαλύνω σε, Κυρία, ἐν ἡμέρᾳ καὶ νυκτί,
τὴν μετὰ Θεὸν μεγάλην μόνην σε ἐν τῷ παντί.
Μεγαλύνω σε, Κυρία, χειρί, γλώσσῃ τε καὶ νῷ,
τὴν μεγάλα δυναμένην ἐν τῇ γῇ καὶ οὐρανῷ.
Μεγαλύνω σε, Κυρία, ὅτι σοὶ ὁ Δυνατὸς
ἐποιήσατο μεγάλα μεγαλεῖα ὁ Χριστός.
Μεγαλύνω σε, Κυρία, ἣν μεγάλοι καὶ πολλοὶ
μεγαλύνουσί σε νόες, ἄϋλοι καὶ ὑλικοί.
Μεγαλύνω σε, Κυρία, δοῦλός σου ὁ ταπεινός,
ἣν ἀπαύστως μεγαλύνει γῆ τε καὶ ὁ οὐρανός.
Μεγαλύνω σε, Κυρία, καὶ ὑμνῶ καὶ εὐλογῶ,
ὁ ἀνάξιός σου δοῦλος καὶ παραμικρὸς ἐγώ.
Μεγαλύνω σε, Κυρία, τὴν μεγάλην καὶ τρανὴν
εἰς ἐμὲ εὐεργεσίαν τῷ αἰῶνι ἐν τῷ νῦν,
Μεγαλύνω σε, Κυρία, τὴν μεγίστην καὶ σφοδρὰν
δι' ἐμὲ συνηγορίαν ὥραν εἰς τὴν φοβεράν.

στ. 20.

Ὕμνος ἕκτος λεγόμενος Προσκυνητάρια.

Προσκυνῶ σε, Παναγία, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ
καὶ τοῦ Πνεύματος τὸν θρόνον τοῦ Προσκυνητοῦ Θεοῦ.
Προσκυνῶ σε, Παναγία, μετὰ τοῦ Προσκυνητοῦ
καὶ ἀγαπητοῦ Υἱοῦ σου, τοῦ Θεοῦ μου καὶ Κριτοῦ.
Προσκυνῶ σε, Παναγία, τὴν πολὺ προσκυνητήν,
μετὰ τὸν Θεὸν δὲ ὅμως, καὶ πολὺ ἀγαπητήν.
Προσκυνῶ σε, Παναγία, ὡς βασίλισσαν, Θεοῦ
δεξιᾷ παρισταμένην ἐν τῷ θρόνῳ τοῦ Υἱοῦ.
Προσκυνῶ σε, Παναγία, ὡς εἰκόνα τοῦ Θεοῦ
ὑπὲρ πάντας, καὶ Ἀγγέλους καὶ υἱοὺς παντὸς λαοῦ.
Προσκυνῶ σε, Παναγία, μετ' Ἀγγέλων καὶ βροτῶν,
Μαριὰμ εὐλογημένη, ὄνομα προσκυνητόν.
Προσκυνῶ σε, Παναγία, ὅλων τῶν Χριστιανῶν
τὸ προσκύνημα, καὶ σέβας τῶν ὑπὸ τὸν οὐρανόν.
Προσκυνῶ σε, Παναγία, πίστις μου προσκυνητή,
καὶ ἐλπίς μου γλυκυτάτη καὶ ἀγάπη λατρευτή.
Προσκυνῶ σε, Παναγία, ἀεὶ φόβῳ καὶ χαρᾷ,
ὅτι σὺ Κυρία πέλεις ἱλαρά, καὶ φοβερά.
Προσκυνεῖ σε, Παναγία, πᾶσα κτίσις καὶ πνοή,
προσκυνεῖς δὲ καὶ σὺ μόνον τὸν Θεὸν κτίστην ἀεί.
στ. 20

ΜΕΓΑΛΥΝΑΡΙΟΝ.

Χαῖρε Παναγία Μήτηρ Θεοῦ, χαῖρε Θεοτόκε, προστασία Χριστιανῶν, Χαῖρε τῆς ψυχῆς μου ἀντίληψις καὶ σκέπη, καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

ΤΟΥ ΑΥΤΟΥ ΑΛΦΑ ΔΟΓΜΑΤΙΚΟΝ.

Ἄῤῥητα ῥήματα νὰ πῶ, οὐδὲ ἐγώ, οὐδ' ἄλλος
στὸν κόσμον τοῦτον μπόρεσεν, οὐδὲ ὁ θεῖος Παῦλος.
Ἀνάγκη εἶναι νὰ εἰπῶ ῥήματα εἰρημένα,
ῥήματα ὅμως εὐσεβῆ, λόγια διαλεγμένα,
Ἄξια διὰ κοσμικοὺς καὶ διὰ Καλογέρους,
διὰ πτωχοὺς καὶ Ἄρχοντας, καὶ νέους δὲ καὶ γέρους.
Ἄρχων, πτωχός, καὶ γέροντας, κἐγὼ στὸν κόσμον ζήσας,
Καλόγηρος καὶ κοσμικός, καὶ ὅλα χρηματίσας,
Ἀνάξιος δὲ εὑρεθεὶς εἰς ὅλα καὶ ἀχρεῖος,
ναί, Ἀδελφοί, καὶ μάρτυς μου ὁ οὐρανὸς ὁ θεῖος.
Ἀκούσατε ὅλοι λοιπὸν ἐξ ὅλης τῆς καρδίας
τὰ κατὰ Ἄλφα ταῦτά μου λόγια ἀληθείας.
Ἀδελφοί, πρῶτα καὶ ἀρχῆς πρέπει νὰ βαπτισθοῦμεν,
γυμνοὶ ὅμως, ὁλόγυμνοι, σὰν ὅταν κολυμποῦμεν.
Ἀπέκει νὰ πιστεύωμεν ἀπὸ καρδίας πάσης,
πῶς εἶναι ἕνας ὁ Θεός, καὶ τρεῖς αἱ ὑποστάσεις.
Ἀπὸ αὐτὰς ἡ μία δὲ διὰ φιλανθρωπίαν
χωρὶς ἄνδρα γεννήθηκεν ἀπὸ τὴν Παναγίαν.
Ἄνθρωπος ὤντας καὶ Θεός, καθὼς αὐτὸς γνωρίζει,
παράδειγμα, καθὼς τὸ πῦρ καὶ καίει, καὶ φωτίζει.
Ἅγιος, ἀναμάρτητος, εἰς ὅλην τὴν ζωήν του,
Σωτὴρ τοῦ Κόσμου ὁλουνοῦ, νἄχωμεν τὴν εὐχήν του.
Ἁπανταχοῦ ὤντας παρών, στὴν γῆν, στὸν οὐρανόν του,
μὲ τὸν Πατέρα του μαζί, καὶ Πνεῦμα τ' Ἅγιόν του.
Αὔξησεν, ἀνετράφηκε σὰν ὅλα τὰ παιδία,
καὶ ἐπεριετμήθηκε, βρέφος τῇ ἡλικίᾳ.

Ἀπὸ τὸν γέρο Συμεὼν ἐδέχθη, ἀγκαλίσθη,
  ἀπὸ τὸν Ἰωάννην δὲ τὸν Πρόδρομον βαπτίσθη.
Ἄπειρα ἔκαμε καλὰ στὸ γένος τῶν Ἑβραίων,
  δὲν ἦτο μόδος ἀπ' αὐτὰ κανεὶς νὰ κάμῃ πλέον.
Ἀνέστησεν ὡς καὶ νεκρούς, καὶ διὰ εὐσπλαγχνίαν,
  καὶ διὰ νὰ τοὺς σύρῃ δὲ καὶ εἰς θεογνωσίαν.
Ἀποκατέστησεν ἐκεῖ καὶ δώδεκ' Ἀποστόλους,
  καὶ ἄλλους ἑβδομήκοντα, ὀγδῶντα δύο ὅλους.
Ἀπέκει ἐπροδόθηκεν ἀπὸ τὸν Μαθητήν του,
  διὰ τριάντα γρόσια μὲ γνώμην ἐδικήν του.
Ἀπ' τὸν Πιλάτον δάρθηκε, βρίσθηκεν, ἐσταυρώθη,
  ἐτάφη, ἐκατέβηκε στὸν ᾅδη, φανερώθη.
Ἀνέστη δὲ τριήμερος, τὸν θάνατον πατήσας,
  καθὸ Θεὸς ἀθάνατος, πολλοὺς συναναστήσας.
Ἀπάνω σταῖς σαράντα δὲ στοὺς οὐρανοὺς ἀνέβη,
  καὶ εἰς τὸν θρόνον κάθησε, καὶ ζῇ καὶ βασιλεύει.
Ἀπέστειλε τὸ Πνεῦμά του στοὺς θείους Ἀποστόλους,
  καὶ εἶναι πάλιν νὰ ἐλθῇ καὶ νὰ μᾶς κρίνῃ ὅλους.
Αὐτὰ εἰς πλάτος τὰ λαλεῖ τὸ Εὐαγγέλιόν του,
  ὁποῦ ἐγράφθη ἀληθῶς ἀπὸ τῶν Μαθητῶν του.
Ἀπὸ αὐτὸ προτήτερα καὶ οἱ Προφῆται ὅλοι
  αὐτὰ τὰ ἐπροφήτευσαν ἐν τῇ Σιὼν τῇ πόλει.
Αὐτὰ καθένας χρεωστεῖ νὰ ξεύρῃ, νὰ πιστεύῃ,
  καὶ γυναικὸς καὶ τῶν παιδιῶν αὐτοῦ νὰ τἀρμηνεύῃ.

στ. 50

ΑΛΦΑΒΗΤΑ ΣΥΜΒΟΥΛΕΥΤΙΚΑ.

ΠΡΩΤΟΝ.

'Αγάπα πρῶτον τὸν Θεόν, ἔπειτα τὸν ἐχθρόν σου.
Βλέπε τῶν ἄλλων τὰ καλά, τὸ σφάλμα τὸ δικόν σου.
Γυναῖκα ἔχεις; τίμα την· δὲν ἔχεις; μὴ γυρεύσῃς.
Δίδε καλὸν ἀντὶ κακοῦ, καὶ θέλει ἀφεντεύσεις.
Ἔχε διὰ χειρότερον μόνον τὸν ἑαυτόν σου.
Ζήσεις καλῶς, ἂν τὸ κακὸν τὸ φεύγῃς ὡς ἐχθρόν σου.
Ἡμέρα δίχως προσευχὴν ποτὲ μή σε περάσῃ.
Θρόνος Θεοῦ θέλεις γενεῖ, ταπεινωθεὶς ἐν πᾶσι.
Ἴξευρε καὶ βεβαίωνε, πῶς σήμερον πεθαίνεις.
Κόλακα μήτε νὰ δεχθῇς, μήτε ἐσὺ νὰ γένῃς.
Λιμὴν νὰ ἦσαι τῶν πτωχῶν, χαρὰ τῶν θλιβομένων,
Μήτηρ, πατὴρ τῶν ὀρφανῶν, ξενοδοχειὸ τῶν ξένων.
Νὰ κοινωνᾷς δύο βολαῖς τὸν χρόνον ἀναγκαῖον.
Ξομολογοῦ δέκα φοραῖς ὅμως, καὶ ἔτι πλέον.
Ὅσο μπορεῖς καὶ περπατεῖς, τρέχε στὴν 'Εκκλησίαν.
Πουλήσου, καὶ ἀγόρασαι τὴν ἄνω βασιλείαν.
Ῥίψαι τὸν πόνον τοῦ κορμιοῦ, καὶ πόνει τὴν ψυχήν σου.
Σέβου τὴν πίστιν σου γερά, ἕως εἰς τὴν θανήν σου.
Τοῦ Αὐθεντός μας τοῦ Χριστοῦ τὰ πάθη νὰ θυμᾶσαι,
Ὕμνει, καὶ δόξαζε αὐτόν, ἂν θέλῃς Χριστοῦ νᾆσαι.
Φοβοῦ δέ, καὶ ἀγάπα τον, ὡσὰν τὰ δυό σου μάτια.
Χαῖρε διὰ ἀγάπην του ἂν γένῃς καὶ κομμάτια.
Ψάλλε αὐτῷ βράδυ, ταχύ, καθημερνὴ καὶ σχόλη.
Ὦ πρέπει δόξα, καὶ τιμή, 'Αμήν, εἰπέτε ὅλοι.

στ. 24

ΔΕΥΤΕΡΟΝ.

Ἀγάπα πρῶτα τὸν Θεόν, ὕστερα τοὺς γονεῖς σου.
Βασίλευε τὰ πάθη σου ἐφ' ὅρῳ τῆς ζωῆς σου.
Γῆ, καὶ πηλός, καὶ σκώληκας εἶσαι, καὶ μὴ καυχᾶσαι.
Δίδε παντοῦ καὶ πάντοτε, τὰ ἄσπρα μὴ λυπᾶσαι.
Εἰκόνα εἶσαι τοῦ Θεοῦ, μιμήσου τὸν Θεόν σου.
Ζηλεύου, καὶ μὴ ζήλευε κανένα στὸν καιρόν σου.
Ἥμαρτες; μετανόησαι, κλάψαι πικρά, καὶ θρήνει.
Θρέψαι πτωχόν, ντύσαι γυμνόν, συγχώρησις νὰ γίνῃ.
Ἴδες τὸ σφάλμα τἀδελφοῦ; κρύψαι το, σκέπασαί το.
Καλὸν ἴδες; φανέρωσ' το εἰς δόξαν Θεοῦ πέ το.
Λάλει ὀλίγα, καὶ πολλὰ ἄκουε, νὰ μανθάνῃς.
Μὴν ἐπαρθῇς, μὴν ὑψωθῇς, καὶ τὴν ψυχήν σου χάνῃς.
Νὰ νικᾷς πάντα τὸ κακὸν ἐσὺ μὲ τὸ καλόν σου.
Ξένον, πτωχὸν νὰ δέχεσαι αὐτόν, ὡς ἄγγελόν σου.
Ὅλος, ἂν γένῃς τοῦ Θεοῦ, ὁ οὐρανὸς δικός σου.
Πτωχεία, νόσοι, πειρασμοί, μεγάλο ὄφελός σου.
Ῥάντιζε καὶ μὲ δάκρυα κἄποτε τὴν στρωμνήν σου.
Σπούδαζε, ὅσον δύνασαι, νὰ σώσῃς τὴν ψυχήν σου.
Τό, *Πάτερ ἡμῶν*, τέκνον μου, λέγε το καὶ συχνάκις.
Ὑβρίσθηκες; ὑπόμειναι, ὡς ὁ Χριστὸς πολλάκις.
Φεῦγε τὴν καταλαλιάν, καὶ τὰς αἰσχρολογίας.
Χαῖρε, καὶ τοὺς Χαιρετισμοὺς λέγε τῆς Παναγίας.
Ψαλμοὺς καὶ ὕμνους καὶ εὐχὰς διάβαζε κατὰ μόνας,
Ὡς ἀρεστὰ εἰς τὸν Θεὸν εἰς πάντας τοὺς αἰῶνας.

στ. 24

ΤΡΙΤΟΝ.

'Αγάπα πρῶτα τὸν Θεόν, εἶτα τὸν ἑαυτόν σου.
Βιβλία διάβαζε πολλά, ὅτι πολὺ καλόν σου.
Γράμματα τὰ Ἑλληνικὰ σπούδαζε νὰ μανθάνῃς.
Διδάσκαλον θεόφοβον στὸ σπῆτί σου νὰ βάνῃς.
Εἰς ὅλα, *Δόξα τῷ Θεῷ*, λέγε, καὶ μὴ γογγύσῃς.
Ζήτουλαν, ἄνθρωπον πτωχόν, φυλάγου μὴ λυπήσῃς.
Ἥλιος θέλεις νὰ γενῇς; φύλαττε παρθενίαν.
Θεὸς νὰ γένῃς ἀγαπᾷς; κάμνε εὐεργεσίαν.
'Ισάγγελος ὁ ταπεινὸς γίνετ' ἐπ' ἀληθείας.
Κρῖμα στὸν ὑπερήφανον· υἱὸς τῆς ἀπωλείας.
Λόγον κατηγορητικὸν ποτέ σου μὴ λαλήσῃς.
Μνησικακίαν μὴ κρατῇς, ἄνθρωπον μὴ μισήσῃς.
